# TEZAUR LITURGIC

## 17 MAI

# SLUJBA

## SF.CUVIOŞI

# NECTARIE

## ŞI

# TEOFAN

## DE LA

# VARLAAM-METEORA

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 17 ΜΑΪΟΣ
# ΝΕΚΤΑΡΙΟΣ & ΘΕΟΦΑΝΗΣ ΟΣΙΟΙ ΚΤΗΤΟΡΕΣ ΜΟΝΗΣ ΒΑΡΛΑΑΜ ΜΕΤΕΩΡΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακὸς καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στʼ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἰωαννίνων ἡ πόλις σκίρτα ἐν πνεύματι, ἐπὶ τῇ ἀναλύσει, τῶν σεπτῶν αὐταδέλφων, ὡς προσενεγκαμένη χαρμονικῶς, Θεοφάνην τὸν ἔνδοξον, τὸν ἐν ἁγνείᾳ καὶ πόνοις ἀσκητικοῖς, σὺν ὁμαίμονι ἐκλάμψαντα.

Σὺν ταῖς ἀΰλοις οὐσίαις ὡς παριστάμενος, τῷ τῶν ἁπάντων Κτίστῃ, ὦ Νεκτάριε Πάτερ, σὺν θείῳ Θεοφάνει μνείαν ποιοῦ, ὑπὲρ τῶν ἐκτελούντων πιστῶν, τὴν ἱερὰν ὑμῶν μνήμην πανευσεβῶς, λυτρωθῆναι περιστάσεων.

Καθάπερ στῦλον τὴν πέτραν, τοῦ ἀσκητοῦ Βαρλαάμ, Νεκτάριε τρισμάκαρ, καὶ Θεόφανες θεῖε, προθύμως ἀναβάντες καὶ ἐν αὐτῇ, ἀρετὴν μετερχόμενοι, νέοι στυλῖται ὀφθέντες ὡς οἱ ποτέ, Συμεὼν καὶ Δανιὴλ οἱ σοφοί.

*Ἕτερα. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἡ τῶν Ὁσίων δυάς, Ἰωαννίνων οἱ βλαστοὶ οἱ κατάκαρποι, τῆς πέτρας τῆς ἀκροτόμου, τοῦ Βαρλαὰμ οἰκισταί, καὶ Μονῆς τῆς θείας οἱ δομήτορες, τὸν νοῦν οἱ μετάρσιοι, τὴν ψυχὴν ἐνθεώτατοι, τῇ ἐγκρατείᾳ, ἀκλινεῖς καὶ ἀνένδοτοι, ταῖς δεήσεσιν, ὑψηλοὶ καὶ θεόληπτοι, νέκταρ τὸ τῆς ἀσκήσεως, Νεκτάριε ἔνδοξε, θεοφανείας ἀῤῥήτου, συγκληρονόμε Θεόφανες, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Χαίροις, ἡ τῶν Ὁσίων δυάς, ἀσκητικῶν ἀγωνισμάτων κειμήλια, ἀγάπης θείας λειμῶνες, οἱ τὴν ὀσμὴν τὴν τερπνήν, ἀρετῶν Ὁσίων διαπνέοντες, Θεόφανες Ὅσιε, ὁσιότητος στέλεχος, σκεῦος χαρίτων, θεοφόρε Νεκτάριε, οἱ ἐν ἅπασιν, ἰσοψύχως ἐκλάμποντες, ἴσοι γὰρ ἐν τοῖς σκάμμασιν, ὡράθητε Ἅγιοι· ὅθεν καὶ ἴσων χαρίτων, παρὰ Χριστοῦ ἠξιώθητε, ἀεὶ δυσωποῦντες, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δεῦτε, μοναζόντων τὸ σύστημα, τοὺς νεοφανεῖς ἀστέρας ἐπαξίως ἐν ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· οὗτοι γὰρ τὰ τερπνὰ τοῦ βίου καταλιπόντες, καὶ πόνοις ἀσκητικοῖς, καὶ τῇ πρὸς τοὺς πένητας εὐποιΐᾳ κοσμηθέντες, τὴν αἰώνιον ζωὴν ἐκληρώσαντο. Μονὴν γὰρ ψυχοσώτειραν, ἐπὶ Μετέωρον ἀνεγείραντες πέτρας, καὶ τὰς ψυχὰς τῶν ἐν αὐτῇ ἀσκούντων, ἐπὶ τὴν τῆς πίστεως πέτρα στηρίξαντες, ταῖς τοῦ Οὐρανίου Πατρὸς Μοναῖς παραπέμπουσι, καὶ ἐν δάκρυσιν ἐπὶ

γῆς τὸν θεῖον σπόρον καταβαλόντες, ἐν ἀγαλλιάσει ἐν οὐρανῷ, τὸν ἑκατοστεύοντα θερίζουσιν ἄσταχυν, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ

ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ΄ 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Τῆς δεσποτικῆς φωνῆς ἡ τῶν αὐταδέλφων δυὰς ἐντισθεῖσα, ἔλεον θέλω φασκούσης καὶ οὐ θυσίαν, εὐθὺς ἀπεγυμνώθη βίου φθαρτοῦ, καὶ τὸν τοῦ ἐλέους ἐνεδύσατο πλοῦτον, οὐ μόνον ἐπαρκέσασα τοῖς ἐνδεέσι καὶ πένησιν, δι’ ἐλεημοσύνης καὶ εὐποιΐας, ἀλλὰ καὶ πόνοις ἀσκητικοῖς, τὸ πήλινον σῶμα κατατήξασα, θυσία ζῶσα τῷ Σωτῆρι ἐγένετο. Πρὸς αὐτοὺς οὖν βοήσωμεν· Νεκτάριε, νέκταρ σωτήριον, καὶ Θεόφανες, θεοφανείας ἠξιωμένε, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὁ αὐτός.*

Τὸν τῆς ὑψηλῆς θεοφανείας ἐπώνυμον, Θεοφάνην τὸν ἀοίδιμον, καὶ Νεκτάριον τὸν ἀντλήσαντα ἐκ θανάτου πηγῆς τὸ σωτήριον νέκταρ ἐπαξίως εὐφημήσωμεν· αὕτη γὰρ ἡ ὁμαίμων δυάς, τῆς ὑπερουσίου Τριάδος, δι’ ἐλεημοσύνης καὶ εὐποιΐας, καὶ τῆς ἀσκητικῆς γυμνασίας ἀνεδείχθη καταγώγιον· ἀνταλλαξαμένη τῶν προσκαίρων τὰ αἰώνια, καὶ τῶν ἐπιγείων καὶ φθαρτῶν, τὰ ἄφθαρτα καὶ οὐράνια. Πρὸς αὐτὴν οὖν βοήσωμεν· ὦ δυὰς ἁγία, τὴν Ἁγίαν Τριάδα ἱκετεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὁ αὐτός.*

Τὰ πλήθη τῶν μοναζόντων, τὴν τῶν αὐταδέλφων Πατέρων δυάδα, χρεωστικῶς εὐφημήσωμεν, Θεοφάνην τὸν ἀοίδιμον, καὶ Νεκτάριον τὸν πραότατον, καὶ ἡσύχιον καὶ φίλον Χριστοῦ· οὗτοι γάρ, ἐπὶ τὸ τῆς ἀσκήσεως ἀναβάντες στάδιον, τὸν παλαμναῖον ἐχθρὸν καταβαλόντες, ὡς γελοῖον παιζόμενον ἔδειξαν· καὶ πληθὺς μοναζόντων, ἐφ’ ἣν ἵδρυσαν Μονήν, ἐπισυνάξαντες θυσίαν εὐπρόσδεκτον ἀενάως τῷ Θεῷ προσήγαγον, ᾧ καὶ πρεσβεύουσιν ἀδιαλείπτως ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἐν ᾄσμασι, τὴν πανσέβαστον μνήμην αὐτῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Σήμερον, ἡ αὐτάδελφος δυάς, τῶν θεοσόφων Πατέρων, πρὸς ἑστίασιν πνευματικήν, τῶν μοναζόντων τὸ σύστημα συνεκάλεσε· Νεκτάριος ὁ σοφός, σὺν Θεοφάνει τῷ τρισολβίῳ. Οὗτοι θεοσόφως

ὑποτάξαντες τὸ χεῖρον τῷ κρείττονι, καὶ τὴν σάρκα δουλώσαντες τῷ πνεύματι, καὶ ἀνώτεροι γεγονότες τῶν παθῶν πρὸς τὸν λιμένα τῆς ἀπαθείας προσώρμισαν, καὶ πλουσίως τὰς ἀντιδόσεις εὗρον τῶν πόνων αὐτῶν, χαρὰν καὶ δόξαν τὴν ἀνεκλάλητον, ὡς ἐφικτὸν Θεὸν καθορῶντες καὶ καθορώμενοι· ᾧ καὶ παριστάμενοι, πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ὦ Πατέρες τρισόλβιοι, καὶ φωστῆρες παγκόσμιοι, τοὺς τὴν θείαν κοίμησιν ὑμῶν σέβοντας, καὶ εὐσεβῶς μακαρίζοντας, ἐπαίνοις ἐν ᾄσμασι, τῶν πταισμάτων ἱλασμόν, καὶ τῆς θείας ἐλλάμψεως, ἀξιώσατε· καὶ ζωῆς αἰωνίου μεταβῆναι, τῶν προσκαίρων εἰς τὰ ἄνω, λαμπρὰ καὶ θεῖα Βασίλεια.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.*

Ὁ Δεσπότης καὶ Κύριος, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, δεῦτε πάντες εἴρηκε σταυρὸν ἄραντες, τὸν ἐλαφρὸν καὶ σωτήριον, δράμετε ὀπίσω μου, ἀναπαύσω γὰρ ὑμᾶς, κοπιῶντας καὶ πάσχοντας, χρυστὸς γάρ ἐστιν, ἐν ὑμῖν ὁ ζυγός μου καὶ φορτίον, ἐλαφρὸν τὸ τῶν καμάτων, δι᾽ οὗ τὰ γέρα κομίζετε.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Καὶ τὴν δόξαν τὴν πρόσκαιρον, καὶ τὸν πλοῦτον τὸν ῥέοντα, εἰς οὐδὲν ἡγήσασθε τρισμακάριοι, ἀλλὰ

πλουσίως ἐνείματε, χερσὶ δεομένων τε, μᾶλλον δὲ θείαις Χριστοῦ, ταῖς παλάμαις ἐθήκατε, ἐν ᾧ εὕρατε, δεκαπλῆν τὴν μονάδα οὐρανῶν τε, Βασιλείας τῆς ἀγήρω, καὶ τὴν ζωὴν τὴν αἰώνιον.

*Δόξα. Ἦχος α΄.*

Ἐπὶ τὴν Μετέωρον πέτραν, τοῦ ἱεροῦ Βαρλαὰμ ἀναβάντες, νεοφανεῖς στυλῖται ἀνεδείχθητε Πατέρες τρισόλβιοι, ἐπάραντες τὸν νοῦν διὰ τῆς πράξεως, καὶ βαθμηδὸν ἐπὶ τὴν κλίμακα τῶν ἀρετῶν ὑψωθέντες, εἰς νοητὴν θεωρίαν ἐφθάσατε, καταλιπόντες ἐν γῇ τὰ εὐαγῆ ἡμῶν καὶ θεῖα σκηνώματα, ὡς πηγὴν πνευματοκίνητον, ἀφθόνως ἀναβλύζουσαν τῆς ἀμβροσίας τὰ νάματα, ἁγιασμὸν παρέχοντα τοῖς μετὰ πίστεως αὐτὰ ἁψαμένοις· ἀλλ’ ὦ Πατέρες τρισόλβιοι, Ἰωαννίνων βλαστήματα, ἣν ἐκτήσασθε ποίμνην φρουρήσατε προσευχαῖς ὑμῶν, καὶ ταῖς ψυχαῖς ἡμῶν αἰτήσασθε εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Δυὰς ἡ τῶν Ὁσίων θεοφόροι αὐτάδελφοι, τῶν Ἰωαννίνων τὸ κλέος, Μετεώρων ἀγλάϊσμα, Θεόφανες θεράπον τοῦ Χριστοῦ, καὶ νέκταρ ὦ Νεκτάριε ζωῆς, πάσης βλάβης καὶ κινδύνων καὶ πειρασμῶν, λυτροῦσθε τοὺς κραυγάζοντας· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι’ ὑμῶν, ἡμῖν πταισμάτων ἄφεσιν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*
*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Νεκτάριος ὁμοῦ, σὺν στεῤῥῷ Θεοφάνει, ἀσκήσαντες ἐν γῇ, ἀρεταῖς κοσμηθέντες, παγίδας καὶ ἔνεδρα, τοῦ βελίαρ διέῤῥηξαν, δι’ ἀσκήσεως, καὶ εὐσεβοῦς πολιτείας, οὓς ὑμνήσωμεν, ὡς τοῦ Θεοῦ ὑπηρέτας, καὶ θεῖα σκηνώματα.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ’. Ὁ ὑψωθείς.*

Ὁ ὑψωθεὶς ἐπὶ Μετέωρον πέτραν, καὶ πρὸς Θεὸν τὸν λογισμὸν ἀνυψώσας, ὁ ἱερὸς Νεκτάριος ὑμνείσθω μοι, ἅμα τῷ ὁμαίμονι, καὶ σοφῷ Θεοφάνει, στυλῖται γὰρ ἐδείχθησαν, μιμησάμενοι βίον, τοῦ Συμεὼν ὁμοῦ καὶ Δανιήλ, ὧν ταῖς πρεσβείαις Χριστὲ ἡμᾶς στήριξον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Τὸν σοφὸν Θεοφάνην σὺν τῷ ὁμαίμονι, ἀνυμνήσωμεν πάντες ὡς διαῤῥήξαντας, πάντα τὰ βέλη τοῦ ἐχθροῦ, τὰ πυρπολούμενα, ὅτι λαβόντες τὸν

σταυρόν, καὶ τὸν ζυγὸν τὸν ἐλαφρόν, Χριστοῦ τοῦ παμβασιλέως, ἐνίκησαν τὸν βελίαρ, ὥσπερ γελοῖον παιζόμενον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιοι Πατέρες, οἱ τὸν ἐλαφρὸν ζυγὸν τοῦ Κυρίου ἀράμενοι, καὶ ἐπὶ γῆς εὐαγγελικῶς πολιτευσάμενοι, δικαίως ἐτύχετε, τῆς αἰωνίου ζωῆς, καὶ τοῦ τόπου τῆς ἀναπαύσεως, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία· διὸ Πατέρες τρισόλβιοι, ὑπὲρ ἡμῶν μνείαν ποιεῖτε πρὸς Κύριον, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τῶν Ὁσίων, οὗ ἡ ἀκροστιχίς:*Δυάδα μέλπω τῶν σοφῶν αὐταδέλφων.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Δημιουργὲ τῆς ἀνθρωπίνης φύσεως καὶ πάσης ἄλλης πνοῆς, λόγον δώρησαί μοι, ἐν ἀνοίξει στόματος,

ὁ φῶς οἰκῶν ἀπρόσιτον, φώτισον τὴν ψυχήν μου, τοῦ ἀνυμνῆσαι ὡς οἷόν τε, τοὺς σοὺς λατρευτὰς καὶ θεράποντας.

Ὕμνοις ὑμνείσθω ὁ σοφὶς Νεκτάριος σὺν ἀδελφῷ εὐκλεεῖ, ὅτι τοὺς ἀσάρκους, καὶ βεβήλους δαίμονας, ἱδρῶσιν ἐναπέπνιξαν, καὶ ἀσκήσεως πόνοις, τὸν βίον διαπεράσαντες, πρὸς λίμενα θεῖον προσώρμισαν.

Ἄσκησιν πᾶσαν καὶ ζωὴν ἐνάρετον βίον ἁγίων ἀνδρῶν, μέλισσαι καθάπερ, σοφῶς ἀνεμάξατε, τοῦ μὲν γὰρ τὸ ἡσύχιον, τοῦ δὲ πάλιν τὸ πρᾶον, τοῦ δὲ τοῦ βίου ἀκίβδηλον, καὶ τὸ καθαρὸν μιμησάμενοι.

*Θεοτοκίον.*

Δημιουργὸν τῆς ἀνθρωπίνης φύσεως ἄχραντε Δέσποινα, τὸν τοῦ Θεοῦ Λόγον, ὑπὲρ φύσιν τέτοκας, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ᾠκοδόμησεν οἶκον, ἐν Σῇ κοιλίᾳ πανάμωμε, κόρην μετὰ τόκον φυλάξας Σε.

*ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἀπὸ νεότητος ὁμοῦ, θεόθεν ὁδηγηθέντες, πρὸς ἀγῶνας καρτερῶς γυμνασθέντες, ἀντετάξασθε στεῤῥῶς, Σταυρὸν Χριστοῦ κατέχοντες, τὸ σωτήριον ὅπλον, καὶ τούτους κατηδαφίσατε.

Μέγα φρονῶν ὁ ἰσχυρός, προσμένων καθωπλισμένος, ἀλλ᾽ ἡττᾶται τῷ Σταυρῷ τοῦ Κυρίου, ὅνπερ φέρετε ὑμεῖς· δι᾽ οὗ τὰ σκεύη ἅπαντα, ἐφ᾽ ἁρπαγμῷ τυγχάνει, καὶ οὗτος δέσμιος δείκνυται.

Ἐπάνω πέτρας ὑψηλῆς, ἐπήξατε θείαν μάνδραν, ἐν ᾗ σώζονται ψυχαὶ μοναζόντων, ὡς ὁρῶμεν καὶ τἀνῦν,

καὶ χρόνον τὸν μετέπειτα, πλῆθος τῶν σωζομένων, καὶ εἰς ἀεὶ διασώζονται.

*Θεοτοκίον.*

Λιμὴν ὑπάρχεις ἀσφαλής, καὶ ὁδηγὸς σωζομένων, ὦ πανύμνητε ἁγία Παρθένε, ὡς Θεὸν τὸν ἀληθῆ ὑπεραῤῥήτως τέξασα, καὶ Σὲ Παρθένον Κόρην, καὶ μετὰ τόκον φυλάξαντα.

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τιμήσωμεν πιστοί, αὐταδέλφων δυάδα, πρεσβεύει γὰρ αὐτή, τὴν ἁγίαν Τριάδα, Θεὸν τὸν ὑπερούσιον, Ὃν ἀξίως ἐλάτρευσε, τοῦ λυτρώσασθαι, ἐκ τῶν βελῶν τοῦ βελίαρ, τοὺς δοξάζοντας, αὐτῶν τὴν ἔνδοξον μνήμην, καὶ θείαν πανήγυριν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Πᾶσαν ὑμῶν, ἔφεσιν πρὸς τὰ οὐράνια, πάντα πόθον, καὶ ἀγάπην ἅπασαν, πρὸς τὸν Θεόν, θέντες ἀψευδῶς, πᾶσαν τὴν οὐσίαν, πτωχοῖς καὶ πλοῦτον ἐνείματε· διὸ ἀπολαύοντες, τὸν οὐράνιον πλοῦτον, ἐν χοροῖς τῶν δικαίων ἀγάλλεσθε.

Ὤφθης ἐν γῇ, ἄσαρκος ὥσπερ τις ἄϋλος, τῶν Ἀγγέλων, τὴν ζωὴν μιμούμενος, παρθενικήν, ἤνυσας ζωήν, καὶ τῆς σωτηρίου πτωχείας ἀναλαβόμενος, Νεκτάριε τρισμάκαρ, σὺν σοφῷ Θεοφάνει, τὸν οὐράνιον πλοῦτον εἰλήφατε.

Τέτρωται μέν, τύραννος καὶ καταβέβληται, ἐπιβλέπων, τοὺς σοφοὺς ὁμαίμονας, γεγυμνασμένους πρὸς ἀρετήν, καὶ πρὸς τὴν ἐκείνου, ἠκονισμένους παράταξιν, ἠφάνισται εἰ τέλος, καὶ εἰς γῆν κατεπόθη, εἰς αἰῶνας αὐτοῦ τὸ μνημόσυνον.

*Θεοτοκίον.*

Ὤφθης ἁγνή, Δέσποινα Μήτηρ τοῦ Κτίστου Σου, εἰς αἰῶνας, αὖθις διαμένουσα, Παρθένε μόνη καὶ καθαρά, ὡς τὰ τῶν μητέρων, οὐκ ἔγνως Κόρη τὸ σύνολον· διὸ καὶ πλατυτέρα, οὐρανῶν ἀνεδείχθης, τῇ δυνάμει τοῦ πάντα ἰσχύοντος.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Νοῦν στερέμνιον ἔσχεν, ὁ σοφὸς Νεκτάριος σὺν τῷ ὁμαίμονι, πᾶσαν τὴν οὐσίαν, ἐν χερσὶ τῶν πενήτων παρέθεντο· ἀλλ’ εὑρόντες ταύτην, ἐν ταῖς χερσὶ Θεοῦ τοῦ ζῶντος, φυλαχθεῖσαν καὶ χάριν αἰώνιον.

Σὺν σοφῷ Θεοφάνει, ὁ σοφὸς Νεκτάριος ἠνδραγαθήσατο, τήξαντες νηστείᾳ, καὶ λοιπῇ κακουχίᾳ τὰ σώματα, καὶ σχεδὸν ἀσάρκως, ἐπὶ τῆς γῆς πολιτευθέντες, ἀσωμάτοις χορείαις ἀγάλλονται.

Ὁ Θεὸς τῶν Πατέρων, ὁ ποιῶν ἀεὶ μεθ’ ἡμῶν ἐπιείκειαν, προσευχαῖς ταῖς τούτων, τὰ πολλά μου ἐξάλειψον πταίσματα· καὶ πρὸς σωτηρίαν, ὡς κηδεμὼν καὶ εὐεργέτης, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

*Θεοτοκίον.*

Φωτοφόρον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσα ἐπεγνωκότες Σε, προσευχαῖς Σου Κόρη, τὰ πολλά μου ἐξάλειψον πταίσματα, καὶ γὰρ Μήτηρ πέλεις, θείου φωτὸς τοῦ ἀνεσπέρου, πρὸς τὸ φῶς τὰς ὁδούς μου κατεύθυνον.

*ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ὡράθητε ἐπὶ γῆς, Ἀγγέλων βίον τελέσαντες, τὰ πάθη τὰ τῆς σαρκός, φυγόντες ὡς ἄσαρκοι· διὸ ἠξιώθητε, σὺν Ἀγγέλων δήμοις, κατοικεῖν περὶ τὸν ἄνακτα.

Ναοὶ ὀφθέντες Θεοῦ, ναὸν Θεοῦ ἀνεγείατε, ἐν ᾧ χορὸν μοναστῶν, οἰκεῖν ἠξιώσατε, ἐπὶ θεμελίῳ γάρ, οἰκοδομηθέντες, Προφητῶν καὶ Ἀποστόλων Χριστοῦ.

Ἀσώματοι ἐν σαρκί, ἀσάρκων βίον μιμούμενοι, τὸν ἄσαρκον Γολιάθ, σαρκὶ κατεβάλετε, τῆς σαρκὸς γὰρ πρόνοιαν, εἰς οὐδὲν τιθέντες, διὰ τοῦτο ἐπαγάλλεσθε.

*Θεοτοκίον.*

Ἀπὸ Ἀγγέλου ἁγνή, τὸ χαῖρε Κόρη ἀκήκοας, Υἱὸν γὰρ τὸν τοῦ Θεοῦ, ἐν μήτρᾳ προσείληφας, γενόμενον ἄνθρωπον· διὸ χαῖρε Κόρη, καὶ ἡμεῖς προσαγορεύομεν.

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Ὁ σοφὸς Νεκτάριος, σὺν ἀδελφῷ Θεοφάνει, κόσμου κατεφρόνησαν, δόξαν καὶ ῥέοντα πλοῦτον, ἔνειμαν περιουσίαν χερσὶ πενήτων, βίον ἐμιμήσαντό γε, ἀνδρῶν στυλιτῶν, ἐπὶ πέτραν ἀνελθόντες, ζωῆς τὸν λίθον Χριστὸν ἐκτήσαντο.

*Ὁ Οἶκος.*

Τοὺς τὰ τοῦ βίου τερπνὰ καταλιπόντας, καὶ βίον ἄϋλον μετιόντας, ἐπαίνων ἀξιοῦσθαι, καὶ ἐγκωμίων ἄξιον, εὐλογία γὰρ ἐπὶ κεφαλῆς αὐτῶν ἔσται, ὡς γέγραπται. Καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ, ἐπαίνων τοιγαροῦν ἄξιοι, καὶ ἡ τῶν παρόντων αὐταδέλφων δυάς, ἡ κόσμον καταφρονήσασα, καὶ τῷ Θεῷ εὐαρεστήσασα, δι' εὐποιΐας τῆς πρὸς τοὺς πένητας, καὶ τῆς ἀσκήσεως πόνοις, ἐπὶ πέτραν ἀνελθόντες, ζωῆς τὸν λίθον, Χριστὸν ἐκτήσαντο.

*Συναξάριον*

Τῇ ΙΖ´ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ὁσίων Νεκταρίου καὶ Θεοφάνους τῶν αὐταδέλφων τῶν κτιτόρων τῆς Ἱερᾶς Μονῆς τοῦ Βαρλαὰμ τῶν Μετεώρων.

*ᾨδὴ ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τοὺς τὴν πέτραν οἰκοῦντας καὶ Θεῷ ὁμιλοῦντας τοῦ ἀσκητοῦ Βαρλαάμ, τοὺς μύστας τῆς Τριάδος, καὶ λύτας τῆς κακίας, ἣν ποσὶ κατεπάτησαν, ἀνευφημοῦμεν πιστῶς, τοὺς δύο αὐταδέλφους.

Ἀσκησάντων ἐμφρόνως ἐπ' ὀφρύος τοῦ ὄρους ὡς οἱ στυλῖται ποτέ, τὴν πέτραν ἀντὶ στύλου, τὴν πίστιν ἀντὶ πέτρας, τὴν ἀσάλευτον ἔδειξαν, ὁ Θεοφάνης ὁμοῦ, σὺν θείῳ Νεκταρίῳ.

Δῆμος τῶν μοναζόντων ὃν δυὰς τῶν Πατέρων ἐπισυνῆξε ποτέ, τῇ πίστει τῆς Τριάδος, εὐχαῖς τε τῶν

Ἁγίων, κατεπάτησαν τύραννον, καὶ τὰς ἐνέδρας αὐτοῦ, ποσὶ καταβαλόντες.

*Θεοτοκίον.*

Ἐναντίοις ἀνέμοις οὐχ ὑπέκλιναν κάραν οἱ θεαυγεῖς ἀσκηταί, ἀλλὰ τῇ θείᾳ πίστει, τοῦ Υἱοῦ Σου Παρθένε, κατεπάτησαν χαίροντες, τὰς μηχανὰς τοῦ ἐχθροῦ, καὶ τὰς ῥαδιουργίας.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Λόγου Θεοῦ κηρύττοντος, τὸν σταυρὸν αὐτοῦ ἕκαστος, καὶ ἐμοῦ ὀπίσω, λαβόντες μοι ἕπεσθε, χρηστὸς ὁ ζυγός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν, ὃν ἀναλαβὼν ὁ ἱερὸς Θεοφάνης, σὺν θείῳ Νεκταρίῳ, ἠκολούθησαν πίστει, Χριστῷ ἐν ᾧ καὶ εὗρον, ζωὴν τὴν αἰώνιον.

Φωτοφανείας ἔτυχεν, ἡ δυὰς ἡ αὐτάδελφος, ἐκ τῶν ἐναρέτων αὐτῶν θείων πράξεων, προθύμως ἀνοίξαντες, ὃν περιεκτήσαντο θησαυρόν, καὶ ἐν ταῖς χερσί, τῶν δεομένων τιθέντες, ὁ θεῖος Θεοφάνης, σὺν σοφῷ Νεκταρίῳ, ὃν ἐν ταῖς ἀποθήκαις, ταῖς οὐρανίοις εὗρον.

Ὡραιωθέντες Ὅσιοι, τῷ φωτὶ τῷ τοῦ Πνεύματος, καὶ πρὸς τοὺς ἀγῶνας, τῆς στεῤῥᾶς ἀσκήσεως, προθύμως ἐδράμετε, καὶ πρὸς τὸ στάδιον καρτερῶς, τὸ τῶν Ἀθλητῶν τῆς εὐκλεοῦς ἐγκρατείας, χαιρόντων προσδραμόντες, δι᾽ οὗ εὕρατε χάριν, ζωήν τε αἰωνίαν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ναόν με δεῖξον πάναγνε, καὶ σεπτὸν καταγώγιον, τοῦ Υἱοῦ Σου Κόρη, ὅνπερ ἐσωμάτωσας, ἁγνῶν ἐξ αἱμάτων Σου, σάρκα λαβόντα, Θεὸς ὢν πρίν, καίπερ διὰ Σοῦ ὤφθη Θεὸς σαρκοφόρος, Ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Μεγάλων ἠξιώθητε δωρεῶν, ὦ Πατέρες ἡμῶν ἀξιάγαστοι, τὸν θησαυρόν, ὅνπερ διενείματε τοῖς πτωχοῖς, ἄσυλον πλοῦτον εὕρατε, ἐν χερσὶ τοῦ ζῶντος Θεοῦ ἡμῶν, ἑκατονταπλασίως, κατὰ τὸ γεγραμμένον, ζωὴν καὶ χάριν τὴν αἰώνιον.

Ὕμνον σοι πλέκω Πάτερ πανευλαβῶς, ὦ Θεόφανες μάκαρ αἰνέσεως, σὺν τῷ σοφῷ, θείῳ Νεκταρίῳ πόθῳ πολλῷ, ναοὶ γὰρ ζῶντες πέλετε, τοῦ Ὑψίστου ζῶντος Θεοῦ ἡμῶν, ναὸν κἀμὲ Κυρίου, ταῖς ὑμῶν ἱκεσίαις, τὸν στιχουργήσαντα ποιήσατε.

Ῥεόντων πάντων πάνσοφοι καὶ φθαρτῶν, καὶ προσκαίρου τιμῆς ματαιότητος, διὰ Χριστόν, σκύβαλα ἡγήσαντο ψαλμικῶς, αὐτοῦ ὀπίσω ἔδραμον, ἕως οὗ εὑρόντες ἀναψυχήν, καὶ λύσιν τῶν καμάτων, σκήνωμα θείας δόξης, καὶ τόπον θείας ἀναπαύσεως.

Ἐπέφανεν ἐτήσιος ἑορτή, τῶν Ὁσίων Πατέρων ἡ πάντιμος, οὓς οἱ πιστοί, δεῦτε ὑπαντήσωμεν νοερῶς, καὶ τοῖς ἐπαίνοις στέψωμεν, ᾄσμασιν ὡς ἄνθεσι

θερινοῖς, πρεπόντως ἐφαρμόζει, μνήμη μετ' ἐγκωμίων, τοῖς διὰ Κύριον ἀσκήσασιν.

Ὠράθητε Πατέρες στῦλοι φωτός, ἐλλαμπόμενοι αὔραις τοῦ πνεύματος, ἐφ' ὑψηλοῦ, στύλου ἀναβάντες πυρσοφαεῖς, ἀκτινοβόλους πέμπετε, οἷα οἱ στυλῖται ποτὲ τὸ πρίν, πιστοὺς ταῖς δαδουχίαις, αὐγάζετε πλουσίως, ὑφ' ὧν ἀξίως μακαρίζεσθε.

*Θεοτοκίον.*

Νέμοις Παρθένε χάριν ἐξ οὐρανοῦ, ἐφ' ἡμῖν τοῖς πιστῶς Σε δοξάζουσι, καὶ ἐκ ψυχῆς, καθομολογοῦσι παναληθῶς, κυρίως Θεοτόκον Σε, καὶ μακαριοῦσι λαμπροφανῶς, ζωῆς τῆς αἰωνίου, ἀξίωσον Παρθένε, ἐν τόπῳ θείας ἀναπαύσεως.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τοὺς ἀδελφοὺς κατὰ σάρκα, καὶ ἀσκητὰς κατὰ πνεῦμα, Νεκτάριον τὸν γενναῖον, καὶ Θεοφάνην τὸν θεῖον, Ἰωαννίνων τοὺς κλάδους, ἀνευφημήσωμεν πάντες.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ἐπὶ τῆς πέτρας ὑψώθησαν, τοῦ ἀσκητοῦ Βαρλαάμ, οἱ Πατέρες οἱ ἔνθεοι, ἐν αὐτῇ τὰ ἔνεδρα, τοῦ πανώλους συνέτριψαν, δι' ἐγκρατείας καὶ ταπεινώσεως, ἱδρῶσι πόνοις, τοῖς τῆς ἀσκήσεως, ἔχοντες σύμμαχον, ὃ ἐποίουν ἔλεος πρὸς τοὺς πτωχούς, μᾶλλον τὴν βοήθειαν, τοῦ ἐλεοῦντος Θεοῦ. *(Δίς)*

Νέοι στυλῖται γεγόνασιν, οἱ ἐν Χριστῷ ἀδελφοί, Συμεὼν ἐκμιμούμενοι, Δανιὴλ τὸν ἔνθεον, τοὺς ἐν στύλους ἀσκήσαντας, καὶ ὑπὲρ ἥλιον δαδουχήσαντας· ὅθεν καὶ οὗτοι ἐκείνων ὤφθησαν, κλῆρος ἀσκήσεως, καὶ ἀκτῖνες ἔνθεοι καὶ ὀπαδοί, ὧν τὴν μνήμην σέβομεν, καὶ μακαρίζομεν.

Τοῦ Μετεώρου ἀνήλθοσαν, ἡ τῶν ὁμαίμων δυάς, ὑψηλὴ καὶ μετέωρος, ἐν αὐτῷ ὡς ἥλιος, τὰς ἀκτῖνας ἐξέπεμψαν, καὶ τὴν ὑφήλιον κατεφώτισαν, διδασκαλίαις καὶ παραινέσεσι, ἔχοντες σύνοικον, ἐν αὐτοῖς τὸν Κύριον Ὃν ἀρεταῖς, ἐπὶ γῆς λατρεύσαντες, καὶ θεραπεύσαντες.

*Δόξα. Ἦχος πλ. β΄.*

Δεῦτε φιλοπάτορες πάντες, τὴν τῶν αὐταδέλφων Πατέρων δυάδα, γηθοσύνως ἐκγκωμιάσωμεν· τοὺς ἀπὸ νεότητος, τὸν ἐλαφρὸν ζυγὸν τοῦ Σωτῆρος, ἐπ' ὤμων ἀραμένους, καὶ Αὐτῷ προθύμως ἐπακολουθήσαντας· δι' ἐγκρατείας καὶ πόνοις ἀσκητικοῖς, καὶ τῇ πρὸς τοὺς πένητας συμπαθείᾳ, ἀντὶ στύλου τὴν Μετέωρον Πέτραν τοῦ ἱεροῦ Βαρλαὰμ καταλαβόντες οἱ θειότατοι, καὶ ἐν αὐτῇ τὸν τῆς νηστείας δρόμον τελέσαντες, ἀσκητικῶς τὸν βίον διήνυσαν. Πρὸς οὖν βοήσωμεν· Νεκτάριε, νέκταρ ἀμβροσίας πνευματικόν, καὶ Θεόφανες, θεοφανείας ἠξιωμένε, οἱ πεφωτισμένοι καὶ σώματι καὶ ψυχῇ, συντηρήσατε ποίμνην ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, ἣν ἐκτήσασθε προσευχαῖς ἡμῶν, καὶ πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## *Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.*
## *Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

